Τρι. Καλάνι κόραυνα καὶ μεγάλα. βασιλιναῦν A
Ορνιθι παραδίδωμι. Ηρ. παραδοῦναι λέγει;
Πο. Μὰ τὸν Δί' οὐχ οὗτός γε παραδοῦναι λέγει,
Εἰ μὴ βαδίζειν ὥσπερ αἱ χελιδόνες.
Πι. Οὐκοῦν παραδοῦναι ταῖς χελιδόσι λέγει.
Πο. Σφῷν νῷν διαλλάττεσθε, καὶ ξυμβαίνετε.
Εγὼ δ' ἐπειδὴ σφῷν δοκεῖ, σιγήσομαι.
B Ηρ. Ημῖν ἃ λέγεις σὺ, πάντα συγχωρεῖν δοκεῖ.
Αλλ' ἴθι μεθ' ἡμῶν αὐτὸς ἐς τὸν οὐρανὸν,
Ινα τὴν Βασίλειαν καὶ τὰ πάντ' ἐκεῖ λάβῃς.
Πι. Ες καιρὸν ἄρα κατεκόπησαν οὑτοιί,
Ες τοὺς γάμους. Ηρ. βούλεσθε δῆτ' ἐγὼ τέως
Οπτῶ τὰ κρέα ταυτὶ μένων; ὑμεῖς δ' ἴτε.
Πο. Οπτᾷς σὺ κρέα; πολλήν γε τενθείαν λέγεις.
Οὐκ εἶ μεθ' ἡμῶν; Ηρ. εὖ γε μέντ' ἂν διετέθην.
C Πι. Γαμικὴν χλανίδα διδότω τις δεῦρό μοι.

Pulchram puellam & valde reginam
Aui trado. HER. tradere dicis?
NEP. Per Iouem non hic tradere dicit,
Nisi ire quemadmodum hirundines.
PI. Igitur tradere hirundinibus dicit.
NEP. Vos nunc pacem facite & conuenite,
Ego autem, postquam vobis videtur, tacebo.
Her. Nobis quæ dicis tu, omnia cõuenire vi- (tur.
Sed veni nobiscum ipse in cœlum,
Vt reginam & omnia illic capias.
PI. In tempus igitur decisa sunt hæ
Ad nuptias? HER. vultis igitur ego interea
Assem carnes has, manens? vos autem ite.
NEP. Asses tu carnes? multam gulositatẽ dicis.
Nõ es nobiscũ? HER. bene quidẽ sũ dispositus,
Nuptialem vestem det aliquis huc mihi.

Σχόλια. Καὶ μεγάλα] τὴν καλὴν καὶ μεγάλην Βασίλειαν γαμεῖν. οὕτω Δίδυμος. τοῦτο δέ φησι βαρβάρως καὶ δυσφράστως. Μὰ τὸν Δί' οὐχ οὗτός γε] μὰ τὸν Δία φησὶν, οὐ λέγει παραδοῦναι. ἀλλὰ βαδίζειν καὶ ἀναχωρεῖν. οὕτω δὲ αὐτό φησι βαρβάρως καὶ δυσφράστως. Ωσπερ αἱ χελιδόνες] Σύμμαχος. οὐκ ἔστιν ὁ τούτου νοῦς φανερός. οὐδέν τι δύναται ἴδιον τῶν χελιδόνων ἡ βάδισις. αἵ γε μηδὲ πορείᾳ χρῶνται ὡς τὰ ἄλλα τῶν ὀρνέων, καὶ μάλιστα τὰ μὴ πτητικά. ὁ δὲ Δίδυμος οὕτω. κατάλληλως εἶχεν εἰ ἔλεγεν ὡς τὰς χελιδόνας. θέλει δὲ λέγειν εἰ μὴ βαδίζει πρὸς τὰς χελιδόνας. διὸ καὶ ἐποίησι. οὐκοῦν παραδοῦναι ταῖς χελιδόσι λέγει. ἐπειδὴ καὶ
D αὐτὸς πρὸς αὐτὰς βαδίζει εἰς Νεφελοκοκκυγίαν. καὶ Αἰσχύλος τὸ βαρβαρίζειν, χελιδονίζειν. φησὶ καὶ Ιων ἐν Ομφάλῃ τοὺς βαρβάρους, χελιδόνας. ἀρσενικῶς φησιν ὡς Ηρωδιανὸς ἐν τῷ πρώτῳ τῆς καθόλου φησίν. τὸ δὲ βασιλιναῦν, εἰς τὸ βάσιν μετέβαλεν ὁ Ποσειδᾶν. παρὸ τὴν δευτέραν ἐξέτεινε, τὸ τελευταῖον κρατήσας ὁ Ηρακλῆς, ἐξ αὐτοῦ κρίνει αὐτὸν, θέλειν παραδοῦναι αὐτὸν τὴν Βασίλειαν τοῖς ὄρνισιν. Οὑτοιί] οἱ ὄρνιθες. εὐκαίρως φησὶν κατεκόπησαν οἱ ὄρνιθες οὗτοι διὰ τὸ ἄριστον τῶν παρόντων γάμων.

Bisetus. Πολλήν γε τενθείαν] Σ. τενθεία, σιναμωρεία, λιχνότης. ἡ γαστριμαργία. καὶ τένθης ὁ γαστρίμαργος.

## ΣΤΡΟΦΗ
κώλων ι'.

Χο. Εστι δ' ἐν Φαναῖσι, πρὸς τῇ
Κλεψύδρᾳ πανοῦργον ἐγ-
E Γλωττογαστόρων γένος.
Οἳ θερίζουσίν τε καὶ σπεί-
Ρουσι καὶ τρυγῶσι ταῖς γλώτ-
Ταισι. συκάζουσί τε.
Βάρβαροι δ' εἰσὶν γένος
Γοργίαι τε καὶ Φίλιπποι.
Κἀπὸ τῶν ἐγγλωττογαστόρων κείνων τῶν Φιλίππων
Πανταχοῦ τῆς Ατθικῆς, ἡ γλῶττα χωρὶς τέμνεται.

## VERSIO membrorum decem.

CHO. Est autem in Phanis ad
Clepsydram prauum gulo-
Sorum genus,
Qui metúntque & semi-
Nant, & vindemiant lin-
Guis, siccant ficósque.
Barbari autem sunt genus,
Gorgiæq; & Philippi.
Et à ventrosis illis Philippis
Vbiq; Atticæ lingua sine mulcetur.

F Σχόλια. Εστι δ' ἐν Φαναῖσιν] εἴσθεσις χοροῦ ἐπῳδικὴ κώλων τροχαϊκῶν ὀκτὼ ὧν τὰ μὲν α. δ. ε. καὶ η. δίμετρα ἀκατάληκτα τὰ δὲ β. γ. ς. καὶ ζ. καταληκτικὰ ἑφθημιμερῆ. καὶ μετὰ ταῦτα στίχοι δύο τετράμετροι τροχαϊκοὶ καταληκτικοί. ἐπὶ τῷ τέλει κορωνίς. ἐν τοῖς ἐκκλησίαις νῦν φησιν εἰσί. παίζει δὲ διασύρων τῶν Αθηναίων τοὺς συκοφάντας. παρὰ τὸ φαίνειν καὶ συκοφαντεῖν αὐτοὺς περὶ τὰ δικαστήρια. καὶ ἄλλως δὲ Φαναὶ τῆς Χίου χωρίον. καὶ κλεψύδρα κρήνη ἐν Αργει. παρὰ τοὺς ἐγχειρογάστορας δὲ πεποίηται. ἄλλως. κρήνη ἐν ἀκροπόλει ἡ κλεψύδρα, ἧς Ιστρος ἐν τῇ ιϛ
G μέμνηται τὰ παρὰ τοῖς συγγραφεῦσιν ἀναλεγόμενος. οὕτως δὲ ὠνόμασται, ἐπειδὴ ἀρχομένων τῶν Ετησίων πληροῦται. παυομένων δὲ λήγει ὁμοίως τῷ Νείλῳ. ὥσπερ καὶ τὴν ἐν Δήλῳ κρήνην. εἰς ταύτην δέ φησιν ἠματωμένην φιάλην πεσοῦσαν, ὀφθῆναι ἐν τῷ Φαληρικῷ ἀπέχοντι σταδίους εἴκοσι. φασὶ δὲ αὐτὴν ἀπέραντον βάθος ἔχειν. τὸ δὲ ὕδωρ ἁλμυρόν. ἔπαιξε δὲ πάλιν διασύρων τοὺς Αθηναίους ὡς φιλοδίκους. ἐπεὶ καὶ ἐν τῷ δικαστηρίῳ ἐστὶ κλεψύδρα κατασκεύασμά τι ὥσπερ ὡρονομικόν. Εγγλωττογαστόρων.] παρὰ τοὺς ἐγχειρογάστορας πέπαικται. Συκάζουσί τε] ὡς ἐπὶ γεωργῶν. συκάζειν γὰρ τὸ σῦκα ἐκλέγειν ἀπὸ τῶν συκῶν καὶ τὸ συκοφαντεῖν. ἐνέμεινε δὲ τῇ τροπῇ. Η γλῶττα χωρίς.] Σύμμαχος πρὸς τὸ ἔθος. ὅτι μετὰ τῶν σπλάγχνων ἔτεμνον τὴν γλῶτταν καὶ παρ' Ομήρῳ. ἔοικε δὲ διὰ τὴν πονηρίαν τῶν δικαιολόγων φησὶν ἐκβεβλῆσθαι χωρὶς τὴν γλῶτταν. Δίδυμος δὲ ἐν ταῖς θυσίαις. χωρὶς ἡ γλῶττα ἐτέμνετο οὐ μετὰ τῶν ἄλλων σπλάγχνων. καὶ Ομηρος. ἀλλ' ἄγε τάμνετε μὲν γλώσσας. ἐγένετο δὲ τοῦτο δι' ἄλλην αἰτίαν. ὅλως δὲ βούλεται λέγειν. ὅτι ἐξεβλήθη ἐκ τῶν σπλάγχνων διὰ τοὺς ῥήτορας ἡ γλῶττα. ἐπεὶ ταύτῃ τοὺς ἄλλους κακοποιοῦσιν. εἰς τὸ αὐτό. ἀντὶ τοῦ ὀφείλει τέμνεσθαι ἡ γλῶττα καὶ χωρίζεσθαι τοῦ λοιποῦ σώματος.